# [ΔΗΜΑΔΟΥ]

## ΥΠΕΡ ΤΗΣ ΔΩΔΕΚΑΕΤΙΑΣ.

Τῆς μὲν τῶν κινδυνευόντων σωτηρίας ὦ ἄν- p. 178 Steph.
δρες Ἀθηναῖοι καὶ τῆς τιμωρίας ὑμεῖς παρὰ τῶν
νόμων τὴν ἐξουσίαν εἰλήφατε· οὔτε δ' ἰατρὸς ἐμπεί-
ρως δύναται θεραπεῦσαι τοὺς κάμνοντας, ἂν μὴ τὴν
αἰτίαν τοῦ νοσήματος κατανοήσῃ, οὔτε δικαστὴς
ὁσίαν θεῖναι τὴν ψῆφον, ἐὰν μὴ τοῖς τῆς κρίσεως
δικαίοις σαφῶς ᾖ παρηκολουθηκώς. ἐμπεσὼν δ' 2
αὐτὸς εἰς μέσην τὴν τῶν ῥητόρων δυσμένειαν, ὥσπερ
τῆς παρὰ θεῶν, οὕτω τῆς παρ' ὑμῶν δέομαι τυχεῖν
βοηθείας. διαβάλλουσι γάρ μου τὸν βίον, οἰόμενοι
τὸν λόγον ἄπιστον καταστήσειν. ἐγὼ δ' ἀποθανὼν
μὲν ἢ ζῶν οὐδέν εἰμι· τί γὰρ Ἀθηναίοις, εἰ παρα-
νάλωμα Δημάδης; δακρύσει δέ μου τὴν ἀπώλειαν
οὐχ ὁ στρατιώτης — πῶς γάρ; ὃν αὔξει μὲν πόλε-

Codd. Bk. et ex eo derivati CEIMNT; accedunt nunc excerpta (e.) ab H. Hauptio edita.

Inscr.] ἀπολογισμὸς πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας Suid. s. v. Δημάδης, quo tamen loco Ruhnk., prob. S., verba πρὸς Ὀλ. alio transponenda esse ci. Fort. duae sunt orationes: ἀπολογ. πρὸς Ὀλυμπιάδα, et (ὑπὲρ) τῆς ἑαυτ. δωδεκαετίας. Ὑπ. τ. δωδ. index or. Demadearum Herm. III, 277.

1. οὔτε ἰατρὸς (sic) . . παρηκολουθ. e. 1. — ἐὰν μὴ τὴν e. — rectius θέσθαι τὴν ψῆφον; sed θεῖναι (ἐπιθεῖναι?) τὴν τιμωρίαν e. — σαφῶς add. e.

2. μέσην τὴν S.: τὴν E, μέσην v. — ἢ παραν. Steph. Turr. Cf. Dem. 9, 44. Malim autem παραναλοῦμαι. — δακρύσει κτέ.] ἐμοῦ δὲ τὴν εἰρήνην συμβουλεύοντος δακρύσει τὴν — — πλέων e. 2. — στρατιώτης] στρατὸς e. —